eul_wid: iti-aa

*Σωτάδης ὁ Μαρωνείτης ὁ Πρεσβύτερος* · Sotades of Maroneia Elder

# Fragments on Cooking

*Ἀποσπάσματα περὶ Ὀψοποιίας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἰωνική* Ionic (ia, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 καρῖδας ἔλαβον
book 1.2 πρῶτον, ἀπεταγήνισα
book 1.3 ταύτας ἁπάσας. γαλεὸς εἴληπται μέγας, ὤπτησα τὰ μέσα, τὴν δὲ λοιπὴν γρυμέαν ἕψω
book 1.4 ποιήσας
book 1.5 τρῖμμα
book 1.6 συκαμίνινον.[ln_5]γλαύκου φέρω κεφάλαια
book 1.7 παμμεγέθη δύο, ἐν λοπάδι μεγάλη ταῦτα, λιτῶς
book 1.8 προσαγαγὼν
book 1.9 χλόην, κύμινον, ἅλας, ὕδωρ, ἐλάδιον. λάβρακα μετὰ ταῦτ' ἐπριάμην καλὸν
book 1.10 σφόδρα, ἕσται δι' ἅλμης λιπαρὸς ἑφθὸς ἐν
book 1.11 χλόῃ,[ln_10]ἀποδοὺς ὅς' ἐστὶν ἀπ' ὀβελίσκων ὀπτανά. τρίγλας καλὰς ἠγόρασα καὶ κίχλας καλάς, ἔρριψα
book 1.12 ταύτας ἐπὶ τὸν ἄνθραχ' ὡς ἔχει, ἅλμῃ τε λιπαρᾷ παρατίθημ' ὀρίγανον. ταύταις
book 1.13 προσέλαβον
book 1.14 σηπίας καὶ τευθίδας·
book 1.1 [ln_15]ἀστεῖον ἑφθὴ τευθὶς ὠνθυλευμένη καὶ πτερύγι' ἁπαλῶς
book 1.2 σηπίας ὠπτημένα. τριμμάτιον ᾠκείωσα
book 1.3 τούτοις ἀνθινὸν
book 1.4 παντοδαπόν. ἑψητὸν δὲ μετὰ ταύτας
book 1.5 τινά, ὀξυλίπαρον
book 1.6 τούτοις ἔδωκα
book 1.7 χυμίον.[ln_20]γόγγρον ἐπὶ τούτοις ἐπριάμην
book 1.8 παχὺν
book 1.9 σφόδρα, κατέπνιξ' ἐν ἅλμῃ τοῦτον εὐανθεστέρᾳ. κωβίδι' ἄττα καὶ πετραῖα δή τινα ἰχθύδια, τούτων ἀποκνίσας τὰ κρανία ἐμόλυν' ἀλεύρῳ . . τοιούτῳ τινί,[ln_25]πέμπω

book 1.10 τε ταῖς καρῖσι τὴν αὐτὴν ὁδόν. ἀμίαν

book 1.11 τε χήραν, θηρίον καλὸν

book 1.12 σφόδρα, θρίοισι

book 1.13 ταύτην ἅλις ἐλαδίῳ διεὶς ἐσπαργάνωσα

book 1.14 περιπάσας ὀρίγανον, ἐνέκρυψά θ’ ὥσπερ δαλὸν εἰς

book 1.15 πολλὴν τέφραν.

book 1.1 [ln_30]ἀφύαν θ’ ἅμ’ αὐτῇ παρέλαβον

book 1.2 Φαληρικήν, εἶς κύαθος ἐνταῦθ’ ὕδατος ἐπιχυθεὶς

book 1.3 πολύ· τεμὼν δὲ λεπτὴν τῆς

book 1.4 χλόης καὶ πλείονα, κἂν ᾖ δικότυλος λήκυθος, καταστρέφω. τί λοιπόν; οὐδέν· ἀλλὰ τοῦτ’ ἔσθ’ ἡ τέχνη,[ln_35]οὐκ ἐξ ἀπογραφῆς οὐδὲ δι’ ὑπομνημάτων.

book 2 κλέπτρια

book 3.1 παροψὶς εἶναι

book 3.2 φαίνομαι τῷ Κρωβύλῳ· τοῦτον μασᾶται, παρακατεσθίει δ’ ἐμέ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org